ΑΝΑΣΤΑΣΙΜΑ ΑΠΟΛΥΤΙΚΙΑ

Ἦχος α΄.

Τοῦ λίθου σφραγισθέντος * ὑπὸ τῶν ᾿Ιουδαίων * καὶ στρατιωτῶν φυλασσόντων * τὸ ἄχραντόν σου Σῶμα, * ἀνέστης τριήμερος, Σωτήρ, * δωρούμενος τῷ κόσμῳ τὴν ζωήν· * διὰ τοῦτο αἱ δυνάμεις * τῶν οὐρανῶν ἐβόων σοι, ζωοδότα· * Δόξα τῇ ἀναστάσει σου Χριστέ· * δόξα τῇ βασιλείᾳ σου· * δόξα τῇ οἰκονομίᾳ σου, * μόνε φιλάνθρωπε.

Ἦχος β΄.

῞Οτε κατῆλθες πρὸς τὸν θάνατον, * ἡ ζωὴ ἡ ἀθάνατος, * τότε τὸν ᾅδην ἐνέκρωσας * τῇ ἀστραπῇ τῆς Θεότητος· * ὅτε δὲ καὶ τοὺς τεθνεῶτας * ἐκ τῶν καταχθονίων ἀνέστησας, * πᾶσαι αἱ δυνάμεις * τῶν ἐπουρανίων ἐκραύγαζον· * Ζωοδότα, Χριστέ, * ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἦχος γ΄.

Εὐφραινέσθω τὰ οὐράνια, * ἀγαλλιάσθω τὰ ἐπίγεια, * ὅτι ἐποίησε κράτος * ἐν βραχίονι αὐτοῦ * ὁ Κύριος· ἐπάτησε * τῷ θανάτῳ τὸν θάνατον· * πρωτότοκος τῶν νεκρῶν ἐγένετο· * ἐκ κοιλίας ᾅδου ἐρρύσατο ἡμᾶς * καὶ παρέσχε τῷ κόσμῳ * τὸ μέγα ἔλεος.

Ἦχος δ΄.

Τὸ φαιδρὸν τῆς ἀναστάσεως κήρυγμα * ἐκ τοῦ ἀγγέλου μαθοῦσαι * αἱ τοῦ Κυρίου μαθήτριαι * καὶ τὴν προγονικὴν ἀπόφασιν ἀπορρίψασαι, * τοῖς ἀποστόλοις καυχώμεναι ἔλεγον· * ᾿Εσκύλευται ὁ θάνατος, * ἠγέρθη Χριστὸς ὁ Θεός, * δωρούμενος τῷ κόσμῳ * τὸ μέγα ἔλεος.

Ἦχος πλ. α΄.

Τὸν συνάναρχον Λόγον * Πατρὶ καὶ Πνεύματι, * τὸν ἐκ Παρθένου τεχθέντα * εἰς σωτηρίαν ἡμῶν, * ἀνυμνήσωμεν, πι-στοί, * καὶ προσκυνήσωμεν· * ὅτι ηὐδόκησε σαρκὶ * ἀνελθεῖν ἐν τῷ σταυρῷ * καὶ θάνατον ὑπομεῖναι * καὶ ἐγεῖραι τοὺς τεθνεῶ-
τας * ἐν τῇ ἐνδόξῳ ἀναστάσει αὐτοῦ.

Ἦχος πλ. β΄.

᾿Αγγελικαὶ δυνάμεις * ἐπὶ τὸ μνῆμά σου, * καὶ οἱ φυλάσσον-
τες * ἀπενεκρώθησαν· * καὶ ἵστατο Μαρία ἐν τῷ τάφῳ, * ζητοῦσα τὸ ἄχραντόν σου σῶμα. * ᾿Εσκύλευσας τὸν ᾅδην, * μὴ πειρασθεὶς ὑπ᾿ αὐτοῦ· * ὑπήντησας τῇ Παρθένῳ, * δωρούμενος τὴν ζωήν. * ῾Ο ἀναστὰς ἐκ τῶν νεκρῶν, * Κύριε, δόξα σοι.

Ἦχος βαρύς.

Κατέλυσας τῷ Σταυρῷ σου τὸν θάνατον· * ἠνέῳξας τῷ ληστῇ τὸν παράδεισον· * τῶν μυροφόρων τὸν θρῆνον μετέβαλες * καὶ τοῖς σοῖς ἀποστόλοις * κηρύττειν ἐπέταξας, * ὅτι ἀνέστης Χριστὲ ὁ Θεός, * παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Ἦχος πλ. δ΄.

᾿Εξ ὕψους κατῆλθες ὁ εὔσπλαγχνος, * ταφὴν κατεδέξω τριήμερον, * ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν. * ῾Η ζωὴ καὶ ἡ ἀνάστασις ἡμῶν, * Κύριε, δόξα σοι.